# ΓΟΡΓΙΟΥ ΛΕΟΝΤΙΝΟΥ

## Ἑλένης Ἐγκώμιον.

Κόσμος πόλει μὲν εὐανδρία, σώματι δὲ κάλλος, ψυχῇ δὲ σοφία, πράγματι δὲ ἀρετή, λόγῳ δὲ ἀλήθεια. τὰ δ' ἐναντία τούτων, ἀκοσμία. Ἄνδρα δὲ, καὶ γυναῖκα, καὶ λόγον, καὶ ἔργον, καὶ πόλιν, καὶ πρᾶγμα χρὴ τὸ μὲν ἄξιον ἐπαίνου ἐπαίνῳ τιμᾶν· τῷ δὲ ἀναξίῳ, μῶμον ἐπιτιθέναι. ἴση γὰρ ἁμαρτία, καὶ ἀμαθία, μέμφεσθαί τε τὰ ἐπαινετὰ, καὶ ἐπαινεῖν τὰ μωμητά. τοῦ δ' αὐτοῦ ἀνδρὸς λέξαι τε τὸ δέον ὀρθῶς, καὶ ἐλέγξαι τοὺς μεμφομένους Ἑλένην, γυναῖκα. περὶ ἧς ὁμόψηφος καὶ ὁμόφωνος, ἥτε τῶν ποιητῶν ἀκουσάντων πίστις, ἥτε τοῦ ὀνόματος φήμη, τῶν συμφορῶν μνήμη γέγονεν. Ἐγὼ δὲ βούλομαι λογισμόν τινα τῷ λόγῳ δοὺς, τὴν μὲν κακῶς ἀκούουσαν, παῦσαι τῆς αἰτίας, τοὺς δὲ μεμφομένους ψευδομένους ἐπιδεῖξαι, καὶ δεῖξαι τἀληθὲς, καὶ παῦσαι τῆς ἀμαθίας. Ὅτι μὲν οὖν φύσει καὶ γένει τὰ πρῶτα τῶν πρώτων ἀνδρῶν, καὶ γυναικῶν ἡ γυνή, περὶ ἧς ὁ λόγος, οὐκ ἄδηλον οὐδ' ὀλίγοις. δῆλον γὰρ ὡς μητρὸς μὲν, Λήδας, πατρὸς δὲ τοῦ μὲν γενομένου Θεοῦ, τοῦ δὲ λεγομένου θνητοῦ, Τυνδάρεω, καὶ Διός. ὧν ὁ μὲν διὰ τὸ εἶναι ἔδοξεν, ὁ δὲ διὰ τὸ φάναι ἠλέγχθη. Καὶ ἦν ὁ μὲν ἀνδρῶν κράτιστος, ὁ δὲ πάντων τύραννος. Ἐκ τοιούτων δὲ γενομένη ἔσχε τὸ ἰσόθεον κάλλος. ὃ λαβοῦσα, καὶ οὐ λαθοῦσα ἔσχε. πλείστας δὲ πλείστοις ἐπιθυμίας ἔρωτος ἐνειργάσατο. ἑνὶ δὲ σώματι πολλὰ σώματα συνήγαγεν ἀνδρῶν ἐπὶ μεγάλοις μεγάλα φρονούντων. ὧν οἱ μὲν πλούτου μεγέθη, οἱ δὲ εὐγενείας παλαιᾶς εὐδοξίαν, οἱ δὲ ἀλκῆς οἰκείας εὐεξίαν,

οἱ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Δ της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

οἱ δὲ σοφίας ἐπικτήτου δύναμιν ἔχον. καὶ ἧκον ἅπαντες ὑπ' ἔρωτος φιλονείκου, φιλοτιμίας τε ἀνικήτου. Ὅς τις μὲν οὖν, καὶ διότι, καὶ ὅπως ἀπέπλησε τὸν ἔρωτα ὁ τὴν Ἑλένην λαβὼν, οὐ λέξω. τὸ γὰρ τοῖς εἰδόσιν ἃ ἴσασι λέγειν, πίστιν μὲν ἔχει, τέρψιν δὲ οὐ φέρει. τὸν χρόνον δὲ τῷ λόγῳ τὸν τότε νῦν ὑπερβὰς, ἐπὶ τὴν ἀρχὴν τοῦ μέλλοντος λόγου προβήσομαι, καὶ προθήσομαι τὰς αἰτίας, δι' ἃς εἰκὸς ἦν γενέσθαι τὸν τῆς Ἑλένης εἰς Τροίαν στόλον. Ἢ γὰρ τύχης βουλήματι, καὶ θεῶν κελεύσματι, καὶ ἀνάγκης ψηφίσματι ἔπραξεν, ἃ ἔπραξεν, ἢ βίᾳ ἁρπασθεῖσα, ἢ λόγοις πεισθεῖσα, ἢ ἔρωτι ἁλοῦσα. Εἰ μὲν οὖν διὰ τὸ πρῶτον, ἄξιος αἰτιᾶσθαι ὁ αἰτιώμενος. Θεοῦ γὰρ προθυμίαν ἀνθρωπίνῃ προμηθείᾳ ἀδύνατον κωλύειν. πέφυκε γὰρ οὐ τὸ κρεῖσσον ὑπὸ τοῦ ἥσσονος κωλύεσθαι, ἀλλὰ τὸ ἧσσον ὑπὸ τοῦ κρείττονος ἄρχεσθαί τε, καὶ ἄγεσθαι. τὸ μὲν γὰρ κρεῖσσον ἡγεῖσθαι, τὸ δὲ ἧττον ἕπεσθαι. Θεὸς δ' ἀνθρώπου κρείσσων καὶ βίᾳ καὶ σοφίᾳ καὶ τοῖς ἄλλοις. εἰ οὖν τῇ τύχῃ καὶ τῷ Θεῷ τὴν αἰτίαν ἀναθετέον, ἢ τὴν Ἑλένην τῆς δυσκλείας ἀπολυτέον. Εἰ δὲ βίᾳ ἡρπάσθη, καὶ ἀνόμως ἐβιάσθη, καὶ ἀδίκως ὑβρίσθη, δῆλον, ὅτι ὁ ἁρπάσας, ἢ ὑβρίσας ἠδίκησεν, ἡ δὲ ἁρπασθεῖσα, ἢ ὑβρισθεῖσα ἐδυστύχησεν. καὶ ἄξιος ὁ μὲν ἐπιχειρήσας βάρβαρος βάρβαρον ἐπιχείρημα καὶ νόμῳ, καὶ λόγῳ, καὶ ἔργῳ. νόμου μὲν, ἀτιμίας, λόγῳ δ' αἰτίας, ἔργῳ δὲ ζημίας τυχεῖν. ἡ δὲ βιασθεῖσα, καὶ τῆς πατρίδος στερηθεῖσα, καὶ τῶν φίλων ὀρφανισθεῖσα, πῶς οὐκ ἂν εἰκότως ἐλεηθείη μᾶλλον, ἢ κακολογηθείη; ὁ μὲν γὰρ ἔδρασε δεινὰ, ἡ δὲ πέπονθε. δίκαιον οὖν τὴν μὲν οἰκτεῖραι, τὸν δὲ μισῆσαι. Εἰ δὲ λόγος ἦν ὁ πείσας, καὶ τὴν ψυχὴν ἀπατήσας, οὐδὲ πρὸς τοῦτο χαλεπὸν ἀπολογήσασθαι, καὶ τὴν αἰτίαν ἀπολύσασθαι ὧδε. λόγος, δυνάστης μέγας ἐστίν. ὃς μικροτάτῳ σώματι καὶ ἀφανεστάτῳ, θειότατα ἔργα ἀποτελεῖ.

δύναται· γὰρ καὶ φόβον παῦσαι, καὶ λύπην ἀφελεῖν, καὶ χαρὰν ἐνεργάσασθαι, καὶ ἔλεον ἐπαυξῆσαι. ταῦτα δὲ, ὡς οὕτως ἔχει, δείξω, δεῖ δὲ καὶ δόξῃ δεῖξαι τοῖς ἀκούουσι. Τὴν ποίησιν ἅπασαν καὶ νομίζω καὶ ὀνομάζω λόγον, ἢ λόγον ἔχουσαν ἡμέτερον, ἧς τοὺς ἀκούοντας εἰσῆλθε καὶ φρίκη περίφοβος, καὶ ἔλεος πολύδακρυς, καὶ φιλοπενθής. ἐπ' ἀλλοτρίων τε πραγμάτων καὶ σωμάτων εὐτυχίας καὶ δυσπραγίας, ἴδιόν τι πάθημα διὰ τῶν λόγων ἔπαθεν ἡ ψυχή. Φέρε δὴ πρὸς ἄλλον ἀπ' ἄλλου μεταστῶ λόγον. αἱ γὰρ ἔνθεοι διὰ λόγων ἡδοναί, ἀπαγωγοὶ μὲν ἡδονῆς, ἀπαγωγοὶ δὲ λύπης γίνονται. συγγινομένη γὰρ τῇ δόξῃ τῆς ψυχῆς ἡ δύναμις τῆς ἐπῳδῆς ἔθελξε, καὶ ἔπεισε, καὶ μετέστησε γοητείᾳ. γοητείας δὲ, καὶ μαγείας δισσαὶ τέχναι εὕρηνται, αἵ εἰσι ψυχῆς ἁμαρτήματα, καὶ δόξης ἀπατήματα. ὅσοι δὲ ὅσους περὶ ὅσων, καὶ ἔπεισαν καὶ πείθουσι, ψευδῆ λόγον πλάσαντες; εἰ μὲν γὰρ πάντες περὶ πάντων εἶχον τῶν παροιχομένων μνήμην, τῶν τε παρόντων, τῶν τε μελλόντων πρόνοιαν, οὐκ ἂν ὁμοίως ὅμοιος ὢν ὁ λόγος καὶ τανῦν γε, οὔτε μνησθῆναι τὸ παροιχόμενον, οὔτε σκέψασθαι τὸ παρὸν, οὔτε μαντεύσασθαι τὸ μέλλον, εὐπόρως εἶχεν· ὥστε περὶ τῶν πλείστων οἱ πλεῖστοι τὴν δόξαν σύμβολον τῇ ψυχῇ παρέχονται. ἡ δὲ δόξα σφαλερὰ καὶ ἀβέβαιος οὖσα, σφαλεραῖς, καὶ ἀβεβαίοις ἀτυχίαις περιβάλλει τοὺς αὐτῇ χρωμένους. Τίς οὖν αἰτία κωλύει καὶ τὴν Ἑλένην ὁμοίως νέαν οὖσαν, ὡς περὶ βιατήριον βίᾳ ἁρπασθῆναι; τῇ γὰρ πειθοῖ ὁ νοῦς παρέσυρη. Καί τοι εἰ ἀνάγκη, ὄνειδος ἕξει μὲν οὔ, τὴν δὲ δύναμιν τὴν αὐτὴν ἔχει. λόγος γὰρ τὴν ψυχὴν ὁ πείσας ἣν, ἔπεισεν, ἠνάγκασε καὶ πείθεσθαι τοῖς λεγομένοις, καὶ συναινέσαι τοῖς ποιουμένοις. ὁ μὲν οὖν πείσας, ὡς ἀναγκάσας ἀδικεῖ, ἡ δὲ πεισθεῖσα ὡς ἀναγκασθεῖσα λόγῳ, μάτην ἀκούει κακῶς. Ὅτι δ' ἡ πειθὼ προσιοῦσα τῷ λόγῳ, τὴν

ψυ-

ψυχὴν ἐτυπώσατο ὅπως ἐβούλετο, χρὴ μαθεῖν πρῶτον μὲν τοὺς τῶν μετεωρολόγων λόγους. οἵτινες δόξαν ἀντὶ δόξης, τὴν μὲν ἀφελόμενοι, τὴν δὲ ἐργασάμενοι, τὰ ἄδηλα, καὶ ἄπιστα φαίνεσθαι ταῖς τῆς δόξης ὄμμασιν ἐποίησαν. δεύτερον δὲ τοὺς ἀγοραίους διὰ λόγων ἀγῶνας, ἐν οἷς εἷς λόγος πολὺν ὄχλον ἔτερψε, καὶ ἔπεισε, τέχνῃ γραφεὶς, οὐκ ἀληθείᾳ λεχθείς. τρίτον φιλοσόφων λόγων ἁμίλλας, ἐν αἷς δείκνυται καὶ γνώμης τάχος ὡς εὐμετάβολον ποιοῦν τὴν τῆς δόξης πίστιν. Τὸν αὐτὸν δὲ λόγον ἔχει ἥτε τοῦ λόγου δύναμις πρὸς τὴν τῆς ψυχῆς τάξιν, ἥτε τῶν φαρμάκων τάξις πρὸς τὴν τῶν σωμάτων φύσιν. ὥσπερ γὰρ τῶν φαρμάκων ἄλλα ἀλλαχοῦ ἐκ τοῦ σώματος ἐξάγει, καὶ τὰ μὲν νόσου, τὰ δὲ βίου παύει· οὕτω καὶ τῶν λόγων οἱ μὲν ἐλύπησαν, οἱ δὲ ἔτερψαν, οἱ δὲ ἐφόβησαν, οἱ δὲ εἰς θάρσος κατέστησαν τοὺς ἀκούοντας, οἱ δὲ πειθοῖ τινι κακῇ τὴν ψυχὴν ἐφαρμάκευσαν, καὶ ἐξεγοήτευσαν. καὶ ὅτι μὲν εἰ λόγῳ ἐπείσθη, οὐκ ἠδίκησεν, ἀλλ' ἠτύχησεν, εἴρηται. Τὴν δὲ τετάρτην αἰτίαν, τῷ τετάρτῳ λόγῳ διέξειμι. εἰ γὰρ ἔρως ἦν ὁ ταῦτα πράξας, οὐ χαλεπῶς διαφεύξεται τὴν τῆς λεγομένης γεγονέναι ἁμαρτίας αἰτίαν. καὶ γὰρ ὁρῶμεν, οὐχ ἣν ἡμεῖς θέλομεν, ἀλλ' ἣν ἕκαστος ἔτυχε. διὰ δὲ τῆς ὄψεως ἡ ψυχὴ κἀν τοῖς τρόποις τυποῦται. αὐτίκα γὰρ, ὅταν πολέμια σώματα, καὶ πολέμιον ὁπλίσῃς κόσμον χαλκοῦ, καὶ σιδήρου, τοῦ μὲν ἀλεξιτήριον, τοῦ δὲ προβλήματα, εἰ θεάσεται ἡ ὄψις, ἐταράχθη, καὶ ἐτάραξε τὴν ψυχὴν, ὥστε πολλάκις κινδύνου μέλλοντος οὐδέπω ὄντος, φεύγουσιν ἐκπλαγέντες. ἰσχυρῶς γὰρ ἡ ἀλήθεια τοῦ νόμου διὰ τὸν φόβον εἰσῳκίσθη τὸν ἀπὸ τῆς ὄψεως, ἥτις ἐλθοῦσα ἐποίησεν ἀσμενίσαι, καὶ τοῦ καλοῦ τοῦ διὰ τὸν νόμον κρινομένου, καὶ τοῦ ἀγαθοῦ τοῦ διὰ τὴν δίκην γιγνομένου. Ἤδη δέ τινες ἰδόντες φοβερὰ, καὶ τοῦ παρόντος ἐν τῷ παρόντι φρονήματος ἐξέστησαν. οὕτως ἀπέσβεσε καὶ ἐξήλασεν ὁ φόβος τὸν



Ε.Λ.Ι.Α. της Κ.τ.Π.
ΙΩΑΝΝΙΝΑ 2006

τὸ νόημα. πολλοὶ δὲ ματαίαις νόσοις, καὶ δεινοῖς πόνοις, καὶ δυσιάτοις μανίαις περιέπεσον. οὕτως εἰκόνας τῶν ὁρωμένων πραγμάτων ἡ ὄψις ἀνέγραψεν ἐν τῷ φρονήματι. καὶ τὰ μὲν δειματοῦντα πολλὰ μὲν παραλείπεται, ὅμοια δ' ἐστὶ τὰ παραλειπόμενα, οἷάπερ τὰ λεγόμενα. ἀλλὰ μὴν οἱ γραφεῖς, ὅταν ἐκ πολλῶν χρωμάτων, καὶ σωμάτων ἓν σῶμα, καὶ σχῆμα τελείως ἀπεργάσωνται, τέρπουσι τὴν ὄψιν. ἡ δὲ τῶν ἀνδριάντων ποίησις, καὶ ἡ τῶν ἀγαλμάτων ἐργασία, ὅσον ἡδεῖαν παρέσχετο τοῖς ὄμμασιν ὄψιν. οὕτω τὰ μὲν λυπεῖν, τὰ δὲ ποθεῖν πέφυκεν ὄψιν. πολλὰ δὲ πολλοῖς πολλῶν ἔρωτα, καὶ πόθον ἐνεργάζεται τῶν πραγμάτων. Εἰ οὖν τῷ τοῦ Ἀλεξάνδρου σώματι, τὸ τῆς Ἑλένης ὄμμα ἡσθὲν προθυμίαν καὶ ἅμιλλαν ἔρωτος τῇ ψυχῇ παρέδωκε, τί θαυμαστόν; ὃς εἰ μὲν θεὸς θεῶν θείαν δύναμιν κρατεῖ, πῶς ἂν ὁ ἥσσων εἴη τοῦτον ἀπώσασθαι, καὶ ἀμύνασθαι δυνατός; εἰ δ' ἐστὶν ἀνθρώπινον νόσημα, καὶ ψυχῆς ἀγνόημα, οὐχ ὡς ἁμάρτημα μεμπτέον, ἀλλ' ὡς ἀτύχημα νομιστέον. ἦλθε γάρ, ἦλθε ψυχῆς ἀγρεύμασιν, οὐ γνώμης βουλεύμασι, καὶ ἔρωτος ἀνάγκαις, οὐ τέχνης παρασκευαῖς. Πῶς οὖν χρὴ δίκαιον ἡγήσασθαι τὸν τῆς Ἑλένης μῶμον; ἥτις εἴτ' ἐρασθεῖσα, εἴτε λόγῳ πεισθεῖσα, εἴτε βίᾳ ἁρπασθεῖσα, εἴτε ὑπὸ θείας ἀνάγκης ἀναγκασθεῖσα ἔπραξε, πάντως διαφεύγει τὴν αἰτίαν. Ἀφεῖλον τῷ λόγῳ δύσκλειαν γυναικός. ἐνέμεινα τῷ νόμῳ, ὃν ἐθέμην ἐν ἀρχῇ τοῦ λόγου. ἐπειράθην καταλῦσαι μώμου ἀδικίαν καὶ δόξης ἀμάθειαν. ἐβουλήθην γράψαι τὸν λόγον, Ἑλένης μὲν ἐγκώμιον, ἐμὸν δὲ παίγνιον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006